UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

Origenes

Coloniæ, 1685

Tomus Vigesimus Qvartus. Ille homicida erat ab initio, & in veritate non stetit, quia non est veritas in eo.

urn:nbn:de:hbz:466:1-79869

Visual Library

γεταί τινες γεέννης τέκνα, καὶ σκότους, καὶ ἀνο-
μίας, καὶ ὄφεων, καὶ ἐχιδνῶν γεννήματα· οὐ γὰρ
γεννᾷ, φησὶ, ταῦτά τινα τῇ ἑαυτῶν φύσει. φθο-
ροποιὰ γὰρ, καὶ ἀναλίσκοντα τοὺς ἐμβληθέν-
τας εἰς αὐτὰ, ἀλλ' ἐπεὶ ἔπραξαν τὰ ἐκείνων
ἔργα τέκνα αὐτῶν εἴρηνται· τοιαύτην δὲ διαστο-
λὴν δεδωκὼς, οὐδὲ καθ' ὁπόσον ἀπὸ τῶν γρα-
φῶν παραμυθήσατο τὴν ἰδίαν διήγησιν. εἴποι-
μεν δ' ἂν πρὸς αὐτὸν ὅτι εἰ μὴ φύσει, ἀλλὰ
ἀξίᾳ γεέννης τέκνα ὀνομάζεται, καὶ σκότους, καὶ
ἀνομίας. φθοροποιὰ γὰρ ταῦτα, καὶ ἀναλί-
σκοντα μᾶλλον, ἤπερ συνιστάντα, πῶς ὁ παῦλος
φησί που τὸ ἤμεθα φύσει τέκνα ὀργῆς ὡς καὶ οἱ
λοιποί, ἢ λεγέτωσαν ἡμῖν ὡς οὐκ ἔστιν ἀναλω-
τικὸν, καὶ μάλιστα κατ' αὐτὸν φθοροποιὸν, ἧς
ὀργῆς τέκνα ἤμεθα· πάλιν φησὶν ὅτι τέκνα τοῦ
διαβόλου νῦν λέγει τούτους, οὐχ ὅτι γεννᾷ τινας
ὁ διάβολος, ἀλλ' ὅτι τὰ ἔργα τοῦ διαβόλου
ποιοῦντες ὡμοιώθησαν αὐτῷ· πόσῳ καὶ βέλτιον
περὶ πάντων τῶν τοῦ διαβόλου τέκνων τοῦτο ἀποφαί-
νεσθαι, ὡς ὁμοιουμένων αὐτῷ τῷ ποιεῖν τὰ ἔργα
αὐτοῦ, καὶ οὐ διὰ τὴν οὐσίαν, ἢ τὴν κατασκευὴν,
τῶν χωρὶς ἔργων, τέκνων διαβόλου χρηματι-
ζόντων, ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρ-
χῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν
ἀλήθεια ἐν αὐτῷ· ἐπεὶ ἔστι τις κοινότερον ἀνθρω-
ποκτόνος, ὁπωσποτε ἀπεκτονὼς ἄνθρωπον, ὅς
τις ἐστὶ καὶ μέσος, καθ' ὃ καὶ ζήλῳ θεοῦ πε-
ποίηκεν ὁ φινεὲς ἀποκτείνας τὸν ἰσραηλίτην
πορνεύοντα, καὶ τὴν μαδιανῖτιν, ἀνθρωποκτό-
νος οὐ ψεκτὸς ῥηθήσεται), καὶ ὁ δαβὶδ ἐν ὀνόμα-
τι κυρίου τῶν δυνάμεων θεοῦ, παρατάξεως ἰσρα-
ὴλ τὸν γολιὰθ, ζητητέον τὴν ἀληθινὴν ἀνθρώ-
που ζωὴν, καὶ τὸν ἐναντίον ταύτῃ θάνατον αὐτοῦ,
ἵνα νοηθῇ ὁ ψεκτὸς ἀνθρωποκτόνος, καὶ ὅσον
μὲν ἐπὶ τῆς ἱστορίας φήσεις τὸν ἀδὰμ καὶ τὴν
εὔαν ὅσον οὐχ ἡμαρτήκεισαν μὴ ἀνῃρῆσθαι. ἣ δὲ
ἡμέρᾳ ἔφαγον ἀπὸ τοῦ ἀπηγορευμένου ξύλου,
εὐθέως καὶ τεθνηκέναι, οὐκ ἄλλου τινὸς ἀποκτεί-
ναντος αὐτοὺς ἢ τοῦ ἀνθρωποκτόνου διαβόλου,
ὅτε τὴν εὔαν διὰ τοῦ ὄφεως ἠπάτησε, καὶ ἡ εὔα
δέδωκε τῷ ἀνδρὶ ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγεν ὁ
ἀνήρ. κατὰ μέντοιγε τὰ βαθύτερα τῶν δογμάτων,
νοήσας τό. οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσο-
μαι, καὶ διηγήσομαι τὰ ἔργα κυρίου, καὶ τὸ
ὑπὸ τοῦ σωτῆρος πρὸς τοὺς σαδδουκαίους ἀπορ-
ρητότατα τοῖς συνιέναι τοῦ λεγομένου δυναμέ-
νοις εἰρημένον ἐν τῷ κατὰ ματθαῖον περὶ τῆς ἀνα-
στάσεως τῶν νεκρῶν. οὐκ ἀνέγνωτε τὸ ῥηθὲν

A tate, juxta quod dicuntur quidam ge-
hennæ filii, & tenebrarum, & iniquita-
tis, & ſerpentium, & viperarum proge-
nies. Non enim generant hæc, inquit,
talia quædam ſua ipſorum natura, cum
potius corrumpant, conſumantque eos
qui in ſe conjecti fuerint: ſed quoniam
effecerint illorum opera, eorum filii
vocantur. Hanc autem differentiam
cum dederit, cumque ne tantulum qui-
dem ſuam narrationem ex Scripturis
confirmarit, reſpondebimus illi, ſi non
B natura, ſed dignitate vocantur gehen-
næ filii, & tenebrarum, & iniquitatis,
nam hæc corrumpunt, conſumunt ma-
gis, quam confirmant, quomodo Pau-
lus hoc inquit: *Natura eramus filii iræ,* Eph. 2. 3.
ſicut & cæteri? Alioquin dicant nobis
iram illam, cujus nos natura filii era-
mus, non conſumere, & ex ſe maxime
non corrumpere. Rurſum inquit, Dia-
boli filios à Jeſu hos dici, non quod Dia-
bolus generet, ſed quod Diaboli opera
facientes aſſimilati fuerint ipſi. At vero
C quanto melius eſt idcirco eos Diaboli
filios haberi, quia illi aſſimiles ſint faci-
endo opera ejus, non eſſentiam, neque
per creationẽ, in qua nulla ſunt opera.

TOMUS VIGESIMUS QUARTUS.

Ille homicida erat ab initio, & in veritate Ioh. 8. 44.
non ſtetit, quia non eſt veritas in eo.

QUoniam generatim homicida eſt
ille, qui quomodocunque interfe-
cerit hominem qui etiam eſt indiffe-
D rens, juxta id quod etiam fecit Phinees
qui Iſraelitam interfecit fornicantem,
& Madianitam; & David etiam abs-
que vituperatione dicetur homicida,
qui in nomine Domini Dei virtutum
coram acie Iſraelis interfecit Goliath,
quærendum eſt, quænam ſit hominis
vera vita; & rurſum quæ ſit hujus mors,
veræ vitæ contraria: ut intelligamus,
quiſnam ſit vituperabilis homicida. Et
quantum quidem ad hiſtoriam perti-
net, dices, Adam & Evam tamdiu in-
terfectos non fuiſſe, quamdiu non pec-
caverunt; mox vero periiſſe in ea die,
E qua de ligno vetito comederunt: nullo
alio interficiente eos, quam homicida
illo Diabolo; quando Evam decepit
ſerpentem, & Eva dedit viro de ligno,
& comedit vir. Quantum vero ad pro-
fundiora dogmata, ſi conſideraveris
dictum illud: *Non moriar, ſed vivam,* Pſalm. 117.
& enarrabo opera Domini, & illud à Ser- 17.
vatore dictum ad Sadducæos occultiſ-
ſime his, qui quod dictũ erat intelligere
quirent, in Evangelio à Matthæo tradi-
to de reſurrectione mortuorum: *Annon* Matth. 22.
legi- 31. 32.

A *legiſtis quod dictum eſt vobis à Deo qui ait: Ego ſum Deus Abraham, & Deus Iſaac, & Deus Iacob? Deus non eſt Deus mortuorum, ſed viventium:* & in Evangelio à
Luc. 20. 37, 38. Luca tradito: *Quod vero reſurgant mortui etiam Moſes oſtendit juxta rubum, cum dicit Dominum Deum Abraham, & Deum Iſaac, & Deum Iacob: Deus autem non eſt mortuorum, ſed viventium, omnes enim vivunt illi.* Ad hæc etiam in Evangelio ſecundum Marcum: *De mortuis,*
Marc. 12. 26. *qui reſuſcitentur: Non legiſtis in libro Moſi, quomodo in rubo loquutus ſit illi Deus* B *dicens: Ego ille Deus Abraham, Deus Iſaac, & Deus Iacob? non eſt Deus mortuorum, ſed Deus viventium:* [ſi hæc, inquam, conſideraveris] videbis, ſi vivit, quia ex mortuis reſurrexerit, Abraham, & Iſaac, & Jacob, hos fuiſſe mortuos, antequam viverent. Videbis etiam neminem proprie dici mortuum, qui ante nõ vixerit. Inſpice vero etiam hoc:
1. Cor. 15. 22. *In Adam omnes moriuntur, & in Chriſto omnes vivificabuntur.* Quibus verbis neque mors media ſignificatur hoc dicto: *In Adam omnes moriuntur,* neque in- C differens vita, quæ neque bonum per ſe eſt, neque malum, in illo: *In Chriſto omnes vivificabuntur,* & videbis vitam hominis qui eſt ad imaginem: cujus vita conſiderata, intelliges, quonam pacto homicida ille interfecerit viventem hominem; recte dicendus homicida, non quia unumquempiam privatim interfecerit, ſed propter univerſum genus à ſe interfectum: unde in Adam omnes moriuntur. Hoc vero homicidium operatus eſt, cum incepiſſet ab initio: per hujus homicidium unusquisque rem ipſam conſiderans, ſuumque D ipſius corpus, & cui accommodatum ſit, hoc dicturus eſt, ſeipſum dicens miſerum, eo quod in Adam perierit: *In-*
Rom. 7. 24. *felix ego homo, quis me liberabit ex hoc corpore morti obnoxio?* videns etiam quo-
Pſalm. 21. 16. nam pacto dictum ſit illud: *In pulverem mortis deduxiſti me,* & illud: *Humiliaſti*
Pſalm. 43. 20. *nos in loco afflictionis,* & illud: *Corpus no-*
Philip. 3. 21. *ſtrum humile.* Eſt etiam occultius quiddam, propter quod homicida ille ab initio princeps ſit hujus mundi, inquam, hoc eſt terreſtris loci, ubi ſunt homines E quos interfecit. Atque homicida quidem interfecit nos, nos vero Dei gratia conſepulti ſumus Chriſto, & conſurreximus illi, conformes facti reſurrectioni ejus, & in novitate vitæ ambulantes. At vero homicida ille princeps eſt interfectorum, itemque mortuorum: nullius viventis valens princeps eſſe. Quod ſi latius conſideraveris quæ ſcripta ſunt de mortuis, veluti

A ὑμῖν ὑπὸ τοῦ θεοῦ λέγοντος. ἐγώ εἰμι θεὸς ἀβραὰμ, καὶ θεὸς ἰσαὰκ, καὶ θεὸς ἰακὼβ, οὐκ ἔστιν ὁ θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων. καὶ ἐν τῷ κατὰ λουκᾶν· ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ μωσῆς ἐμήνυσεν, ὡς λέγει, ἐπὶ τῆς βάτου κύριον τὸν θεὸν ἀβραὰμ, καὶ θεὸν ἰσαὰκ, καὶ θεὸν ἰακώβ· οὐκ ἔστιν ὁ θεὸς νεκρῶν, ἀλλὰ ζώντων, πάντες γὰρ αὐτῷ ζῶσιν· ἔτι δὲ καὶ ἐν τῷ κατὰ μάρκον, περὶ τῶν νεκρῶν, οὐκ ἀνέγνωτε, ὅτι ἐγείρονται, ἐν τῇ βίβλῳ μωσέως, ὡς εἶπεν ἐπὶ τῆς βάτου αὐτῷ B ὁ θεὸς λέγων, ἐγώ εἰμι θεὸς ἀβραὰμ, καὶ θεὸς ἰσαὰκ, καὶ θεὸς ἰακώβ. οὐκ ἔστιν ὁ θεὸς νεκρῶν ἀλλὰ ζώντων, ὄψει ὅτι εἰ νῦν ζῇ ἐκ νεκρῶν ἀναστὰς ἀβραὰμ, καὶ ἰσαὰκ, καὶ ἰακὼβ, νεκροὶ ἦσαν πρὶν ζήσωσι. νεκρὸς δὲ κυρίως οὐδεὶς λέγεται μὴ πρότερον ζήσας· ἐπίστησον δὲ καὶ τῷ. ἐν τῷ ἀδὰμ πάντες ἀποθνήσκουσι, καὶ ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται. ἐν οἷς οὔτε ὁ μέσος θάνατος σημαίνεται κατὰ τό. ἐν τῷ ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὔτε ἡ ἀδιάφορος ζωὴ, C καὶ μήτε ἀγαθὸν οὖσα καθ᾽ αὑτὴν, μήτε κακὸν, κατὰ τό. ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται, καὶ ὄψει τὴν ζωὴν τοῦ κατ᾽ εἰκόνα ἀνθρώπου. νοήσας δὲ αὐτοῦ τὴν ζωὴν συνήσεις τίνα τρόπον ὁ ἀνθρωποκτόνος ἀπέκτεινε τὸν ζῶντα ἄνθρωπον, οὐ διά τινα ἕνα ἰδίως ποιὸν, ἀλλὰ δι᾽ ὅλον τὸ γένος, ὃ ἀπέκτεινε, καθ᾽ ὃ ἐν τῷ ἀδὰμ πάντες ἀποθνήσκουσιν, ὑγιῶς λεχθησόμενος ἀνθρωποκτόνος· ταύτην δὲ τὴν ἀνθρωποκτονίαν εἰργάσατο, ἀρξάμενος ἀπ᾽ ἀρχῆς, δι᾽ ἣν ἀνθρωποκτονίαν αὐτοῦ ἕκαστος τῶν νοούντων αὐτὸ, D καὶ τὸ ἑαυτοῦ σῶμα, καὶ τίνι οἰκεῖόν ἐστι, τοῦτο ἐρεῖ ταλανίζων ἑαυτὸν ἐπὶ τὸ ἐν τῷ ἀδὰμ ἀποτεθνηκέναι, τό. ταλαίπωρος ἐγὼ ἄνθρωπος. τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου, βλέπων καὶ τίνα τρόπον εἴρηται τό. εἰς χοῦν θανάτου κατήγαγές με, καὶ τό. ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ τό. σῶμα τῆς παπεινώσεως ἡμῶν. ἔστι δὲ καὶ ἀπορρητότερόν τι διὸ ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος ἄρχων ἐστὶ τοῦ κόσμου τούτου, λέγω δὲ τοῦ περιγείου E τόπου, ὅπου εἰσὶν οὓς ἀπέκτεινεν, ἄνθρωποι. ὁ μὲν οὖν ἀνθρωποκτόνος ἀπέκτεινεν ἡμᾶς. ἡμεῖς δὲ χάριτι θεοῦ συνετάφημεν χριστῷ, καὶ συνανέστημεν αὐτῷ, εἴγε σύμμορφοι γεγόναμεν τῇ ἀναστάσει αὐτοῦ, καὶ ἐν καινότητι ζωῆς περιπατοῦμεν· ὁ δὲ ἀνθρωποκτόνος ἄρχει τῶν ἀνῃρημένων καὶ ἄρχει τῶν νεκρῶν, ζῶντος δὲ οὐδενὸς ἡγεῖσθαι δύναται· ἐὰν δὲ ἐπιπλεῖον ἐπιστήσῃς καὶ τοῖς περὶ τῶν νεκρῶν γεγραμ-

γραμμένοις, οἷον τοῦτο. εἰς τοῦτο Χριστὸς ἀπέθανε, καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, ὄψει τίνα τρόπον διὰ τὸν θάνατον τοῦ Ἰησοῦ οὐδὲ τῶν νεκρῶν κυριεύει. ἔτι ἀπέθανε γὰρ Ἰησοῦς, ἵνα καὶ νεκρῶν κυριεύσῃ. ὅσον μὲν οὖν ζῇ ὁ ἄνθρωπος, οὐ φορεῖ τὴν τοῦ χοϊκοῦ εἰκόνα. ἀποθνήσκων δὲ, καὶ ἀναιρούμενος ὑπὸ τοῦ ἀνθρωποκτόνου, ἅμα τε συνέχει τὴν τοῦ θεοῦ εἰκόνα, καὶ ἀναλαμβάνει τὴν τοῦ χοϊκοῦ, καὶ νεκροῦ. νεκρὸς γὰρ ὁ χοϊκός, ὥσπερ ζῶν ὁ ἐπουράνιος. καὶ ὁ θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων θεός. διόπερ εἰ μὲν συνανέστημεν ἐν καινότητι ζωῆς περιπατοῦντες, ὁ θεὸς ἐστὶν ἡμῶν. εἰ δὲ ἔτι ἐσμὲν ἐν νεκροῖς, ὁ θεὸς οὐ νεκρῶν καὶ ὁ ἡμῶν οὐκ ἔσται θεός. πρόκειται δὲ πρὸς τὸ ἐξετάζειν τὰ περὶ τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου, καὶ τὸ ἰδεῖν τινὰς νεκροὺς μὲν, οὐκ ἐν ἄλλῳ δὲ ἢ ἐν Χριστῷ νεκρούς, οἳ καὶ πρῶτον ἀναστήσονται. περὶ ὧν ἐν μὲν τῇ πρὸς Κορινθίους οὕτω λέγεται. σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. ἐν δὲ τῇ πρὸς Θεσσαλονικεῖς. τοῦτο γὰρ ὑμῖν λέγομεν * λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς, ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα. καὶ ἡγοῦμαι ζῶντας μὲν εἶναι ἐν Χριστῷ τοὺς τετελειωμένους, καὶ μηδαμῶς ἔτι ἁμαρτίαν ἐργαζομένους. νεκροὺς δὲ ἐν Χριστῷ τοὺς διακειμένους μὲν κατὰ τὴν ἐν Χριστῷ πίστιν, καὶ προαιρουμένους βιοῦν καλῶς, οὐ μὴν ἤδη κατωρθωκότας, ἀλλ' ἔτι ἁμαρτάνοντας, ἤτοι κατ' ἄγνοιαν τοῦ ἀκριβοῦς περὶ δικαιοσύνης ἀληθοῦς λόγου, ἢ, κατὰ ἀσθένειαν νικωμένων τῶν κριμάτων, ὑπὸ τῆς ἐπιθυμούσης κατὰ τοῦ πνεύματος σαρκός. καὶ τούτοις γε ἀκόλουθόν ἐστι τὸν Παῦλον αἰσθανόμενον ἑαυτοῦ, λέγειν διὰ τὸ ἤδη κατωρθωκέναι, τό. ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι. οὓς δὲ εἰρήκαμεν νεκρούς, οὗτοι μάλιστα δέονται τῆς ἀναστάσεως, οὐδὲ τῶν ζώντων δυναμένων ἁρπαγῆναι ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ κυρίου, εἰς ἀέρα, πρὶν πρῶτον τοὺς ἐν Χριστῷ νεκροὺς ἀναστῆναι. διὸ γέγραπται. οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς, καὶ τὰ ἑξῆς. ἐπιστήσεις δὲ εἰ καὶ διὰ τὴν ἀνθρωποκτονίαν αὐτοῦ οὐκ ἂν συστάντα τὰ ἐπὶ τῆς ἐπικαταράτου γῆς ἐν τοῖς ἔργοις τοῦ ἐκβληθέν-

A hoc: *In hoc enim Chriſtus & mortuus eſt, & reſurrexit, ut mortuorum, ac viventium ſit princeps*, videbis, quomodo per mortem Ieſu ne mortuorum quidem amplius ſit ille princeps. Mortuus eſt enim Ieſus, ut mortuis etiam dominetur: atque quamdiu vivit homo, non gerit imaginem terreni; ſed cum moritur, interficiturque ab homicida illo, tum perdit Dei imaginem, tum recipit imaginem terreni, & mortificatur: mortuus enim eſt terrenus, quomodo vivus eſt ſupercœleſtis; & Deus non eſt B Deus mortuorum, ſed viventium: ergo ſiquidem conſurreximus in novitate vitæ ambulantes, Deus eſt noſter: quod ſi adhuc inter mortuos ſumus, cum Deus non ſit mortuorum, ne noſtri quidem erit Deus. Cæterum inſtitutæ diſputationi de eo quod eſt, qui erat homicida ab initio, proximum eſt, ut videamus aliquos quidem mortuos eſſe, ſed non in alio, præterquam in Chriſto: qui etiam primum reſurrecturi ſunt: de quibus in epiſtola ſic ad Corinthios dicitur: *Clanget tuba, & mortui reſurgent* C *incorruptibiles, & nos immutabimur.* In epiſtola vero ad Theſſalonicenſes: *Hoc enim vobis dicimus in verbo Domini, quod nos qui vivemus, & reliqui erimus in adventu Domini, nequaquam præveniemus eos qui dormiunt: quoniam ipſe Dominus cum hortatu, & voce Archangeli, ac tuba Dei, deſcendet de cœlo, & mortui in Chriſto reſurgent primum, deinde nos qui vivemus, qui reliqui erimus, ſimul cum illis rapiemur in nubibus, in occurſum* Domini *in aera, & ſic ſemper cum Domino erimus.* D Itaque arbitror perfectos, & qui nequaquam amplius peccata committant, viventes eſſe in Chriſto; mortuos vero in Chriſto eos eſſe qui affecti quidem ſint ſecundum eam fidem, quæ eſt in Chriſto, quique deliberant optime vivere, haud tamen illud aſſequuti jam fuerint, vel propter ignorantiam accuratæ, & veræ rationis de juſtitia, vel infirmitatem judiciorum quæ victa fuerunt à carne concupiſcente adverſus ſpiritum. Ac profecto his conſequens eſt Paulum ſibimetipſi conſcium jam præclare E ſe geſſiſſe, dicere illud, *Nos viventes.* Cæterum, quos diximus mortuos, hi maxime indigent reſurrectione, cum ne viventes quidem rapi poſſint in nubibus in occurſum Domini in aëra, antequam primum reſurgant mortui in Chriſto: quocirca ſcriptum eſt: *Mortui in Chriſto reſurgent primum, deinde nos qui vivemus*, & quæ ſequuntur. Inſpicies autem, num etiam propter homicidium ſuum effecerit, ut eſſent ea quæ non erant ſuper terram maledictam, pro-

Rom. 14. 9.
1. Cor. 15. 52.
1. Theſ. 4. 15. & ſeq.

propter opera ejecti à paradiſo delicia- A
rum Adam. Veruntamen factus fuit homicida hic ab initio rerum exiſtentium, qui opinor factus principium figmenti Domini invidit his quæ creata fuere ut eſſent: ſic invidia mors introivit in mundum: ſemper homines Diabolo occidente, in quibus viventibus vitam invenerit, donec omnibus inimicis poſitis ſub pedes filii Dei, ultimus hoſtis mors abolebitur. Videamus ve-
Ioan.8.44. ro etiam de hoc: *In veritate non ſtetit.* Atque omnis quidem ac ſolus ille qui recta firmiter habet dogmata, & pro- B
pter firmitatem dogmatum perpetuo conſtantis eſt ſententiæ, nullo infortunio, nullo corporali prætextu concuſſus, is ſtetit in veritate: qui vero etiamnum appetitu vehementiore rerum venerearum, vel qualicunque culpa concutitur, ita ut aliquantulum dimoveatur ab honeſto, is merito non ſtetiſſe exiſtimetur in veritate. Sed hæc oratio pervenit ad eas naturas quæ ſunt extra carnem, & ſanguinem: eſt enim etiam in illarum vita neceſſario dicendum C
eas quæ præclare ſe geſſerint, ſtare in veritate: ſin vero aliquis hunc in modum non vixerit, is non ſtetit in veritate. Sed obſervo, ne forte unum quiddam, & uniforme ſit, ſtare in veritate; varium vero ac multiplex, non ſtare in ea: quibusdam conantibus in ea ſtare, ſed id aſſequi non valentibus, quod pedes habeant tremebundos, ut ita dicam, & vacillantes; aliis vero, etiamſi hoc modo affecti non fuerint, in periculo tamen conſtitutis, ne idem ſibi
Pſal.72. 2. contingat; qualis erat qui dicit: *Mei au-* D
tem pæne moti ſunt pedes: rurſumque etiam aliis in ea labentibus, de quibus
Matth.21. 44. dici opinor: *Qui ceciderit ſuper petram conteretur.* Ad hoc ſtare in veritate Dominus adhortans Moſen, dixit ad
Exod.33. 21. eum: *Ecce locus apud me, & ſtabis ſuper petram*: nam ſi petra Chriſtus erat, Chriſtusque inquit: *Ego ſum veritas,* fortaſſis hoc dictum, *Stabis ſuper petram,* idem eſt atque hoc; ſtabis ſupra veritatem: id quod vix poſt multa tandem contingit alicui. Unde ad id etiam
usque temporis, quo dicta fuere hæc E
verba Moſi: *Ecce locus apud me eſt, & ſtabis ſuper petram,* Moſes non ſteterat ſupra petram. Quod ſi quis diligentius inſpexerit naturam humanam non facile valentem ſe mundare à falſis dogmatibus, is viſurus eſt quemadmodum omnis homo eſt mendax, ita etiam nullum hominem ſtare in veritate: nam ſi aliquis non eſt amplius mendax, aut ſtat in veritate, hujusmodi ſane non eſt homo; adeo ut Deus illi, ſuiq; ſimilibus di-

A τος ἀπὸ τοῦ παραδείσου τῆς τρυφῆς ἀδὰμ συνέστη. πλὴν ἀνθρωποκτόνος ἐστὶν ἀπὸ τῆς τῶν ἐνεστηκότων γέγονεν ἀρχῆς, ὅστις οἶμαι γενόμενος ἀρχὴ πλάσματος κυρίου, ἐφθόνησε τοῖς κτισθεῖσιν εἰς τὸ εἶναι. οὕτω φθόνῳ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, ἀεὶ ἐν οἷς ἐὰν εὕρῃ ζῶσιν ἀνθρωποκτονοῦντας, ἕως ἂν πάντων τῶν ἐχθρῶν ὑποτεθέντων τοῖς ποσὶ τοῦ υἱοῦ τοῦ θεοῦ, ἔσχατος ἐχθρὸς αὐτοῦ θάνατος καταργηθῇ. ἴδωμεν δὲ καὶ περὶ τοῦ. καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε. πᾶς
B μὲν καὶ μόνος ὁ ὑγιὴς, βεβαίως ἔχων δόγματα, καὶ διὰ τὴν βεβαιότητα τῶν δογμάτων ἀσάλευτος τοῖς κρίμασι τυγχάνων ἐν παντὶ καιρῷ, καὶ ὑπὸ μηδεμίας περιστάσεως, ἤ τινος σωματικῆς * προφάσεως, οἵγε δύο ὑπομένῃ τῶν πόνων, ἢ σφοδροτέρας ὀρέξεως ἀφροδισίων, ἢ ὁποιασδήποτε αἰτίας σαλευόμενος, ὥστ' ἂν καὶ ἐπίποσον μετακινηθῆναι ἀπὸ τοῦ καλοῦ, εὐλόγως ἂν ἑστηκέναι ἐν τῇ ἀληθείᾳ νομίζοιτο. οὗτος δὲ ὁ λόγος φθανέτω καὶ ἐπὶ τὰς ἔξω σαρκὸς
C καὶ αἵματος φύσεις. ἔστι γὰρ καὶ ἐν τῇ ἐκείνων ζωῇ τὰ κατορθοῦντα ἑστηκέναι ἐν τῇ ἀληθείᾳ δεόντως λέγειν. εἰ δέ τις μὴ οὕτως βιοῖ, οὐχ ἕστηκεν ἐν τῇ ἀληθείᾳ. ἀλλ' ἐφίστημι μήποτε ἓν μέν τι καὶ μονοειδές ἐστι τὸ ἑστηκέναι ἐν τῇ ἀληθείᾳ. ποικίλον δέ τι καὶ πολύτροπον τὸ μὴ ἑστηκέναι ἐν αὐτῇ, τινῶν μὲν τρεμούσαις, ἵν' οὕτως ὀνομάσω, ταῖς βάσεσι, καὶ σειομέναις βιαζομένων ἑστάναι ἐν αὐτῇ, καὶ μηδέπω τοῦτο ἐχόντων. ἑτέρων δὲ τοῦτο μὲν οὐ πεπονθότων, ἐν κινδύνῳ δὲ τοῦ ἐν τούτῳ
D γενέσθαι καθεστηκότων, ὁποῖός ἐστιν ὁ λέγων. ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, καὶ ἄλλων καὶ πεπτωκότων ἐν αὐτῇ, περὶ ὧν οἶμαι λέγεσθαι τό. πᾶς ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται. ἐπὶ τοῦτο τὸ ἑστάναι ἐν τῇ ἀληθείᾳ προτρέπων ὁ κύριος μωσέα εἶπε πρὸς αὐτόν. ἰδοὺ τόπος παρ' ἐμοί, καὶ στήσῃ ἐπὶ τῆς πέτρας. εἰ γὰρ ἡ πέτρα χριστὸς ἦν, χριστὸς δὲ φησιν. ἐγώ εἰμι ἡ ἀλήθεια, μήποτε τὸ, στήσῃ ἐπὶ τῆς πέτρας, ἴσον δύναται τῷ, στήσῃ ἐπὶ τῆς ἀλη-
E θείας. μόγις δέ ποτε τοῦτο καὶ μετὰ πολλὰ ἐγγίνεταί τινι. μέχρι γοῦν τοῦ. ἰδοὺ τόπος παρ' ἐμοί, καὶ στήσῃ ἐπὶ τῆς πέτρας, μωσῆς οὐδέπω ἑστήκει ἐπὶ τῆς πέτρας. καὶ εἴ τίς γε ἐπιμελέστερον ἐνίδοι τῇ ἀνθρωπίνῃ φύσει, οὐκ * εὐρῶς δυναμένῃ καθαρεύειν ἀπὸ ψευδῶν δογμάτων, ὄψεται ὅτι ὥσπερ πᾶς ἄνθρωπος ψεύστης, οὕτως πᾶς ἄνθρωπος οὐχ ἕστηκεν ἐν τῇ ἀληθείᾳ. εἰ γάρ τις ἐστὶν * ὁ ψεύστης ἔτι, ἢ ἕστηκεν ἐν τῇ ἀληθείᾳ, ὁ τοιοῦτος οὐκ ἔστιν ἄνθρωπος, ὥστ' ἂν εἰπεῖν αὐτῷ, καὶ τοῖς ὁμοίοις

* γρ. ἰσχυρῶς

* γρ. οὐ ψεύστης. Ferr.

ὁμοίοις αὐτῷ τὸν θεόν. ἐγὼ εἶπα θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες, οὐκ ἐπενεχθησομένου αὐτῷ τοῦ. ὑμεῖς δὲ δὴ ὡς ἄνθρωποι ἀποθνήσκετε. εἴ τις οὖν καὶ ἄλλος οὐχ ἕστηκεν ἐν τῇ ἀληθείᾳ, δῆλον ὅτι καὶ ὁ διάβολος ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος. καὶ ἡ αἰτία γε τοῦ μὴ ἑστηκέναι αὐτὸν ἐν ἀληθείᾳ τοῦτον εἴρηται τὸν τρόπον, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. διὰ τοῦτο δ' οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ, ἐπείπερ ἠπάτηται, καὶ ψευδῆ ὑπολαμβάνει. καὶ ἠπάτηται αὐτὸς ὑφ' ἑαυτοῦ, τούτων χείρων εἶναι λογισθεὶς τῶν λοιπῶν ἀπατωμένων, ὅτι ἐκεῖνοι μὲν ὑπὸ τούτου ἀπατῶνται. αὐτὸς δὲ ἑαυτῷ δημιουργός ἐστι τῆς ἀπάτης. ἄξιον δὲ ζητῆσαι πῶς λέγεται τό. ἀλήθεια οὐκ ἔστιν ἐν αὐτῷ, ὅτι γε πότερόν ποτε οὐδὲν ἀληθὲς ἔχει δόγμα, ἀλλὰ πάντα ὅσα δοξάζῃ ψευδῆ ἐστιν. ἢ ὅτι μετέχει Χριστοῦ, ὡς οἱ Χριστοῦ μέτοχοι μετέχουσι τοῦ εἰπόντος. ἐγώ εἰμι ἡ ἀλήθεια. οἱ γὰρ μετέχοντες αὐτοῦ, μετέχουσιν αὐτοῦ, * καὶ οὐ καθ' ὅ ἐστιν ἀλήθεια, καὶ διὰ τοῦτο ἀλήθειά ἐστιν ἐν αὐτοῖς. καὶ τρίτον δ' ἂν ἐν τῷ τόπῳ τοιοῦτον προσαπορηθείη, ἐπιστησόντων τινῶν εἰ χρὴ λέγειν μὴ εἶναι ἀλήθειαν ἐν τῷ ὁτιποτοῦν ψεῦδος ὑπολαμβάνοντι, κἂν μετὰ πολλῶν ἀληθῶν τοῦτο νομίζῃ. ὡς γὰρ ψεῦδος τὸ ἐκ μυρίων ὅσων ἀληθῶν, καὶ ἑνὸς ψεύδους συμπεπλεγμένον, οὕτως ἐν τῷ δοξάζοντι μετὰ πολλῶν ἀληθῶν ἓν ψεῦδος, οἱονεὶ τὸ τοιοῦτόν ἐστι συμπεπλεγμένον, ὥστ' ἂν εἰπεῖν ὅτι ἐν τῷδε οὐκ ἔστιν ἀλήθεια. δείκνυμι δὲ τὸν μετὰ πολλῶν ἀληθῶν ἓν ψεῦδος ὑπολαμβάνοντα, καὶ τὰ τρία γε δόξει ἔχειν λόγον, τινὸς μὲν φήσοντος κατὰ τοῦτο εἰρῆσθαι τό. οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ, ἐπεὶ οὐ μετέχει Χριστοῦ, ᾧ γε καὶ προσπολεμεῖ. ἑτέρου δὲ ἐπείπερ οὐδὲν ἀληθὲς φρονεῖ, ἀλλ' ἐν πᾶσι διέψευσται, καὶ διὰ τοῦτό ἐστι διάβολος, καὶ πονηρὸς, καὶ χείρων παντὸς οὑτινοσοῦν πταίοντος, ὅτι τάχα ἐν μὲν τοῖς πολλοῖς ἐστί τι καὶ ἀληθὲς μετὰ πολλῶν ὧν σφάλλονται. ἐν δὲ τούτῳ οὐδὲν ἀληθές. καὶ τρίτος δέ τις συναγορεύσει τῷ λοιπῷ λέγων ἀμήχανον εἶναι λογικόν τι τυγχάνον ζῷον περὶ πάντων ψευδοδοξεῖν, καὶ περὶ μηδενὸς, κἂν ἀσθενῶς ὡς τὸ ἀληθὲς ὑπολαμβάνειν. πάντως γοῦν κἂν τοῦτο ἔχει ὁ διάβολος δόγμα ἀληθὲς περὶ αὐτοῦ ἐννοῶν ὅτι λογικός ἐστι, καὶ ὅτι τὸ τοιόνδε μὲν ἄνθρωπός ἐστι, τὸ τοιόνδε ἄγγελος, καὶ τὸ τοιὸν μὲν σῶμα, * καὶ ποιὸν σῶμα, ἄλλον δέ τι ἕτερον σώματος. ἀλλ' ἵνα καὶ τὸ τελευταῖον μὴ λέγῃ, καὶ μὴ ἐννοῇ, ἀλλά γε αὐτάρκη τὰ πρῶτα πρὸς τὸ

(Margin notes: [illegible] — ἴσως καὶ ποιὸν σῶμα, ἄλλο δέ τι)

A cat: *Ego dixi, Dii eſtis, & filii Excelſi omnes.* Nec illud de eo ſubjungetur: *Vos autem ſicut homines moriemini.* Quod ſi quiſquam alius non ſtetit in veritate, profectò is fuit Diabolus, qui ab initio fuit homicida: & cauſa ſane cur ipſe non ſteterit in veritate, dicta eſt hunc in modum: *Veritas Dei in eo non eſt.* Hanc autem ob cauſam non eſt in eo veritas, quoniam deceptus eſt, falſaque opinatur; ipſeque à ſeipſo deceptus eſt, pejor his cæteris deceptis habitus, quod illi quidem decipiuntur ab hoc, ipſe autem B ſibi fabricator, & auctor eſt deceptionis. Sed dignum quæſitu eſt, quomodo veritas non dicatur in eo eſſe: utrumne tandem quia nullum dogma verum habet, ſed quæcunque opinatur falſa ſint, an potius quia particeps Chriſti non eſt, ut ſunt participes Chriſti dicentis: *Ego ſum veritas*; qui enim participes ſunt illius, illius ſunt participes, in quantum eſt veritas, & idcirco veritas in eis eſt. Rurſum tertio addubitabitur hoc in loco, quibusdam annotaturis num dicere oporteat, non eſſe verita- C tem in eo qui qualecunque mendacium opinatur, etiamſi cum multis veris ipſum opinetur. Ut enim falſa eſt complexio ex innumeris quæ valde vera ſint, & uno mendacio conſtans, ſic in eo qui cum multis veris unum mendacium opinatur, talis ferme eſt complexio, & copulatio, ut in illo dicamus veritatem non eſſe. Oſtendo autem cum multis veris unum mendacium ſuſpicantem, & tria videbuntur habere rationem: aliquo quidem dicturo propter hoc dictum fuiſſe: *In veritate non ſtetit,* quoniam particeps non ſit Chriſti, quippe cui etiam inferat bellum; D altero autem, quoniam nil vere cogitet, ſed mentitus ſit, propter quod etiam Diabolus ſit, & malus, & pejor quocunque cadente, quoniam fortaſſis in multis ſit etiam aliquid veri admixtum illis multis, quibus falluntur, in hoc vero nihil ſit verum. Atque etiam tertius patrocinabitur reliquo, dicens fieri non poſſe, ut aliquod animal rationis compos ita de omnibus falſa opinetur, ut de re nulla (ſaltem imbecilliter) cogitet verum. Nam omnino ſaltem hoc Dia- E bolus dogma verum habet, quod ſeipſum rationis compotem eſſe intelligit; quodque talis etiam homo eſt; itidemque Angelus; quodque corpus eſt tale; & quale corpus; & aliud quiddam à corpore diverſum. Sed ut demum non dicat, nec conſideret; at ſaltem ſatis ſunt prima, ut verum

Pſalm. 81. 6,7.

Ioh. 8.44.

eſſe non poſſit de eo, quod nihil veri cogitat. Atque nos quidem hoc dictum: *In veritate non ſtetit*, intelligimus non tanquam oſtendentes naturam talem, neque docentes fieri non poſſe ut ipſe ſtet in veritate. Heracleon vero in hæc inquit hoc: Natura ipſius ex veritate non eſt, ſed ex eo quod contrarium eſt veritati; nimirum ex errore, & ignorantia. Quocirca inquit neque ſtare in veritate, neque veritatem in ſeipſo habere poteſt; ex natura ſua proprium habens mendacium; naturaliter aliquando non valens dicere veritatem: dico autem quod non ſolum ipſe mendax eſt, verum etiam pater ipſius privatim, pater ipſius, exponens, naturam ipſius; quandoquidem ex errore, & falſitate conſtat. Quæ omnia Diabolum liberant omni vituperatione, & culpa, & accuſatione: nullus enim jure vel vituperaret, vel inculparet, vel accuſaret non natum aptum natura ad præſtantiora. Quamobrem infelix potius, quam vituperabilis eſt Diabolus, judicio Heracleonis. Sciendum vero eſt, quemadmodum Diabolus in veritate non ſtetit, quoniam non eſt veritas in eo, ſic etiam qui ſint ex patre Diabolo in veritate non ſtare, quoniam veritas non ſit in ipſis: cujusmodi ſunt omnes etiamnum peccantes; etiamſi Chriſti ſe dicant eſſe: omnis enim *qui committit peccatum, ex Diabolo eſt.* (1. Ioh. 3. 8.) *Cum loquitur mendacium, ex propriis loquitur, quoniam mendax eſt, & pater ejus.* (Ioh. 8. 44.) Quoniam exponentes illud; *Vos ex patre Diabolo eſtis*, memores hujus dicti anticipavimus dicere quæ nobis tum in hunc textum ſuccurrerunt, quærentes quid ſit mendacium, & quid ſit pater ejus; expendenda quoque nunc ſunt cum illis quæ à nobis dicentur. Et arbitror ego omnem ſpiritum malum, & fallacem mendacium eſſe: cumque unusquisque horum loquitur, ex propriis loquitur, non ex his quæ Dei ſunt: horumque mendax pater Diabolus eſt. Vnde vero moti fuerimus ut diceremus omnem malum ſpiritum mendacium eſſe, nunc in medium adducemus. Scriptum eſt in tertio Regum: Sic dixit Michæas vocatus ab Achab prophetandi cauſa, utrum ſibi conduceret ire ad bellum, an non: (3. Reg. 22. 19. & ſeq.) *Vidi Deum Iſraelis ſedentem in ſolio ſuo, & omnis exercitus cæli ſtabat juxta eum ad dexteram ejus, & ad ſiniſtram ejus: dixitque Dominus; Quis decipiet Achab Regem Iſrael, & aſcendet, & cadet in Rammoth Galaad? cumq; alius aliud diceret, egrediebatur Spi-*

A μὴ ἂν δύνασθαι εἶναι ἀληθὲς περὶ αὐτοῦ τό. ὅτι οὐδὲν ἀληθὲς φρονεῖ. ἡμεῖς μὲν οὖν τό. ἐν τῇ ἀληθείᾳ οὐκ ἕστηκεν, ἀκούομεν οὐχ ὡς φύσιν τοιαύτην ἐμφαίνοντος, οὔτε τὸ ἀδύνατον περὶ τοῦ ἑστηκέναι αὐτὸν ἐν ἀληθείᾳ παριστάντες. ὁ δὲ ἡρακλέων εἰς ταῦτά φησι τό. οὐ γὰρ ἐκ τῆς ἀληθείας ἡ φύσις ἐστὶν αὐτοῦ, ἀλλ' ἐκ τοῦ ἐναντίου τῇ ἀληθείᾳ, ἐκ πλάνης καὶ ἀγνοίας. διό φησιν οὔτε στῆναι ἐν ἀληθείᾳ, οὔτε ἔχειν ἐν αὐτῷ ἀλήθειαν δύναται, ἐκ τῆς αὐτοῦ φύσεως ἴδιον ἔχων τὸ ψεῦδος, φυσικῶς μὴ δυνάμενός ποτε ἀλήθειαν εἰπεῖν. B λέγει δ' ὅτι οὐ μόνος αὐτὸς ψεύστης ἐστιν, ἀλλὰ καὶ ὁ πατὴρ αὐτῷ ἰδίως πατὴρ αὐτοῦ ἐκλαμβάνων τὴν φύσιν αὐτοῦ. ἐπείπερ ἐκ πλάνης καὶ ψεύσματος συνέστη. ταῦτα δὲ ὅλα ῥύεται τὸν διάβολον παντὸς ψόγου, καὶ ἐγκλήματος, καὶ μέμψεως. οὐδεὶς γὰρ εὐλόγως ἂν ψέξαι, ἢ ἐγκαλέσαι, ἢ μέμψαιτο τῷ μὴ πεφυκότι πρὸς τὰ κρείττονα. ἀτυχὴς μᾶλλον ἢ ψεκτὸς ὁ διάβολος κατὰ τὸν ἡρακλέωνά ἐστιν. ἰστέον μέντοιγε ὅτι C ὥσπερ ὁ διάβολος ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ, οὕτως καὶ οἱ ἐκ πατρὸς τοῦ διαβόλου ὄντες ἐν τῇ ἀληθείᾳ οὐχ ἑστήκασιν, ὅτι ἀλήθεια οὐκ ἔστιν ἐν αὐτοῖς. πάντες δὲ τοιοῦτοι οἱ ἔτι ποιοῦντες ἁμαρτίας, κἂν λέγουσιν εἶναι χριστοῦ. πᾶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβόλου γεγέννηται. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστί, καὶ ὁ πατὴρ αὐτοῦ. προλαβόντες μὲν εἰς τό. ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ, ἐμνημονεύσαμεν τοῦ D ῥητοῦ, καὶ τὰ ὑποπεσόντα ἡμῖν εἰς αὐτὸ εἰρήκαμεν, ζητοῦντες τί τὸ ψεῦδος, καὶ τὸν πατέρα αὐτοῦ, συνεξετάζεσθαι * δὲ καὶ τὰ λεχθησόμενα *γρ. δεῖ νῦν ἐκείνοις. πᾶν πνεῦμα πονηρὸν καὶ ἀπατηλὸν νομίζω εἶναι ψεῦδος, καὶ ἕκαστον τούτων ὅταν λαλῇ, ἐκ τῶν ἰδίων, καὶ μηδαμῶς ἐκ τῶν τοῦ θεοῦ λαλεῖν. τούτων δὲ ὁ ψεύστης πατὴρ ὁ διάβολός ἐστι. πόθεν δὲ ἐκινήθημεν εἰς τὸ πᾶν χεῖρον πνεῦμα ψεῦδες εἰπεῖν, νῦν παραθησόμεθα. γέγραπται ἐν τῇ γ' τῶν βασιλειῶν ὡς ἄρα μιχαίας E κληθεὶς ὑπὸ τοῦ * ἀχαὰμ εἰς τὸ προφητεῦσαι *γρ. ἀχαάβ περὶ τοῦ. πότερον αὐτῷ καθήκει πορευθῆναι εἰς ῥαμμὼθ * γαλαὰθ, εἰς πόλεμον, ἢ ἐπισχεῖν, *γρ. γαλαάδ τό. εἶδον θεὸν ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατεία τοῦ οὐρανοῦ εἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ εὐωνύμων αὐτοῦ, καὶ εἶπε, τίς ἀπατήσει τὸν * ἀχαὰμ βασιλέα ἰσραήλ, *γρ. ἀχαάβ καὶ ἀναβήσεται, καὶ πεσεῖται ἐν ῥαμμὼθ γαλαάδ; καὶ εἶπεν * οὗτος ἔν σοι. καὶ ἐξῆλθε *γρ. οὕτως

πνεῦμα

πνεῦμα, καὶ ἔστη ἐνώπιον κυρίου, καὶ εἶπεν, ἐγὼ ἀπατήσω αὐτόν· καὶ εἶπε πρὸς αὐτὸν κύριος, ἐν τίνι, καὶ εἶπεν, ἐξελεύσομαι, καὶ ἔσομαι πνεῦμα ψευδὲς εἰς τὸ στόμα πάντων τῶν προφητῶν τούτων· καὶ ἐν τῇ δευτέρᾳ τῶν παραλειπομένων ὁ αὐτὸς μιχαίας πρὸς τὸν * ἀχαὰμ φησὶ, καὶ τὸν ἰωσαφάτ· ἀκούσατε λόγον κυρίου. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ δύναμις τοῦ οὐρανοῦ εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ ἀριστερῶν αὐτοῦ, καὶ εἶπε κύριος, τίς ἀπατήσει τὸν * ἀχαὰμ βασιλέα ἰσραὴλ, καὶ ἀναβήσεται, καὶ πεσεῖται ἐν ῥαμμὼθ * γαλαὰθ, καὶ εἶπεν οὗτος οὕτως, ἐξῆλθε πνεῦμα, καὶ ἔστη ἐνώπιον κυρίου καὶ εἶπεν, ἐγὼ ἀπατήσω αὐτὸν, καὶ εἶπε κύριος, ἐν τίνι, καὶ εἶπεν, ἐξελεύσομαι, καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ· σαφῶς οὖν διὰ τούτων δηλοῦται * ὅτι πνεῦμά τι ἐστὶ τὸ ψευδὲς πνεῦμα, πάντα ὅμοια εἴη ἂν ψευδῆ πνεύματα ἀπὸ τοῦ ψεύστου πατρὸς εἰληφότα τὸ εἶναι ψευδῆ πνεύματα, κατὰ τὸ ψεῦδος, καὶ τὴν κακίαν, καὶ οὐχ ὅτι κατ' οὐσίαν· τὸ μὲν οὖν ἅγιον πνεῦμα, ἢ ἀγγελικὸν πνεῦμα, ὅταν λαλῇ, οὐκ ἐκ τῶν ἰδίων λαλεῖ, ἀλλ' ἀπὸ τοῦ λόγου τῆς ἀληθείας, καὶ τῆς σοφίας. ὅπερ δηλοῦται καὶ ἐν τῷ κατὰ ἰωάννην, ἔνθα περὶ τοῦ παρακλήτου διδάσκων, καὶ, φησὶν, ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν· τὸ μέντοι ψεῦδος ὅταν λαλῇ, ἐκ τῶν ἰδίων λαλεῖ. ἐκ τῶν ἰδίων ἐλάλησε καὶ τὸ ἐν τῇ γ' τῶν βασιλειῶν ψευδὲς πνεῦμα ἀπατῶν τὸν * ἀχαάμ· πλὴν παρατήρει ὅτι, ψεύστης, ὄνομα ὁμοίως τέτακται ἐπί τε τοῦ γεννήσαντος τὸ ψεῦδος διαβόλου, καὶ ἐπὶ τοῦ ἀνθρώπου· ἐνθάδε μὲν γὰρ περὶ τοῦ ἀνθρώπου λέγεται τό. ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ· ἐν δὲ ψαλμοῖς τό. ἐγὼ δὲ εἶπον ἐν τῇ ἐκστάσει μου πᾶς ἄνθρωπος ψεύστης· ταῦτα δὲ παρεθέμεθα, ἵνα πάσῃ δυνάμει τὸ εἶναι ἄνθρωποι, καὶ σπεύδωμεν γενέσθαι θεοὶ, ἐπεὶ ἐφ' ὅσον ἐσμὲν ἄνθρωποι, ψεῦσται ἐσμὲν, ὡς καὶ ὁ πατὴρ τοῦ ψεύδους ψεύστης ἐστίν· ὅμοιον δὲ ἐστι τὸ μετέχειν ἡμᾶς ἑνὸς, καὶ τοῦ αὐτοῦ ὀνόματος, καὶ τοῦ σημαινομένου ὑπὸ τοῦ. ὀνόματος πράγματος· ἡμᾶς λέγω, ἐὰν ἐπιμένωμεν ἄνθρωποι καὶ τὸν διάβολον * ὃ ψεύστης εἴρηται· ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι· εἰ μεμνήμεθα πρὸς τίνας ἐστὶν ὁ λόγος, ὅτι πρὸς τοὺς πεπιστευκότας αὐτῷ ἰουδαίους, ἐπαγγελίαν λαμβάνοντας ὅτι ἐὰν μένωσιν ἐν τῷ λόγῳ τοῦ ἰησοῦ, τότε ἀληθῶς αὐτοῦ εἰσὶ μαθηταὶ, καὶ γνώσονται

A *ritus quidam, & coram Domino ait; Ego decipiam eum: dixitque ad eum Dominus: Qua in re? dixit: Egrediar, & ero ſpiritus mendacii in ore omnium Prophetarum ejus.*
Et in ſecundo Paralipomenon, ipſe Mi- 2. Paral.
chæas ad Achab & Joſaphat inquit: 18. 18. &
Audite verbum Domini: Vidi Dominum ſeq.
ſedentem in ſolio ſuo, & omnis potentia cæli ſtabat ad dextram ejus, & ad ſiniſtram ejus, & dixit Dominus: Quis decipiet A- B *chab Regem Iſrael? & aſcendet, & corruet in Ramoth Galaad? cumque alius aliud dixiſſet, egreſſus eſt Spiritus, & ſtetit corã Domino, & dixit: Ego decipiam eum: & dixit Dominus: Qua in re? & dixit: Egrediar, & ero Spiritus mendax in ore omnium Prophetarum ejus.* Aperte igitur ex his declaratur quod eſt aliquis Spiritus mendax, ac Spiritus etiam ſimiles, Spiritus eſſe mendaces: quippe qui à Patre ſuo mendace acceperint eſſe Spiritus mendaces propter mendacium, & propter vitium; non quia propter eſſentiam, & C naturam ſint tales. Atque Spiritus quidem ſanctus vel angelicus Spiritus cum loquitur, non ex propriis loquitur, ſed loquitur à ſermone veritatis, & ſapientiæ: id quod etiam manifeſtat Johannis Evangelium, in quo de Paracleto do-
cens Servator inquit: *De meo accipiet,* Ioh. 16. 14.
& annunciabit vobis. Qui vero ex pro- 15.
priis loquitur, mendacium loquitur: ex propriis enim loquutus eſt etiam ille in tertio Regum Spiritus mendax decipiens Achab. Veruntamen obſerva voca- D bulum, mendax, ſimiliter poſitum fuiſſe de Diabolo, qui mendacium genuit, & de homine. Atq; hoc quidem in loco dicitur de homine & de Diabolo: *Mendax eſt, & pater ejus:* in Pſalmis vero de homine ſolum: ut illud: *Ego dixi in ex-*
ceſſu meo, omnis homo mendax. Verum Pſ. 115. 11.
hæc omnia in medium adduximus, ut quoad fieri poteſt, fugiamus eſſe homines, feſtinantes filii Dei effici: quoniam quamdiu homines ſumus, mendaces ſumus, ſicut & pater mendacii mendax eſt. Simile eſt autem E participare nos unum, & nomen ejus, & participare rem ab ipſo nomine ſignificatam: nos dico, ſi manſerimus homines, & Diabolum qui mendax eſt dictus.

TOMUS VIGESIMUS QUINTUS.

Ego autem quia veritatem dico, non Ioh. 8. 31.
creditis mihi.

SI memores ſumus ad quos loquitur; nempe ad eos qui crediderant ei Judæos, qui promiſſionem acceperant, ſi permanſiſſent in ſermone Jeſu, tum vere diſcipulos ejus futuros, & agni-